Αι, μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, λ

## Ψαλμὸς τῷ Δαβίδ. ΚΖ'.

Πρὸς σὲ κύριε κεκράξομαι, ὁ θεός μου
μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, λ καὶ ὁμοιωθήσο-
μαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Εἰσάκουσον κύριε τῆς φωνῆς τῆς δεήσεώς μου,
ἐν τῷ δέεσθαί με πρὸς σέ, ἐν τῷ αἴρειν με
χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.
Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν, καὶ
μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με.
εἰρήνην λ Τῶν λαλούντων λ μετὰ τῶν πλησίον αὐτῶν, κακὰ
δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
Δὸς αὐτοῖς κύριε κατὰ τὰ ἔργα αὐτῶν,
καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν,
Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς,
ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου, καὶ
εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καθελεῖς αὐτούς,
καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.
Εὐλογητὸς κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς
τῆς δεήσεώς μου.
Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου,
ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην.